# 32. THE WITHERED HAND (Matt-Lk Identicals)

| Matt 12:9-14 | Luke 6:6-11 |
|---|---|
| | *Ἐγένετο δὲ ἐν ἑτέρῳ σαββάτῳ* |
| *Καὶ μεταβὰς ἐκεῖθεν ἦλθεν* | *εἰσελθεῖν αὐτὸν* |
| *εἰς τὴν συναγωγὴν αὐτῶν·* | *εἰς τὴν συναγωγὴν* |
| | *καὶ διδάσκειν·* |
| *10 καὶ ἰδοὺ ἄνθρωπος* | *καὶ ἦν ἄνθρωπος ἐκεῖ* |
| *χεῖρα ἔχων ξηράν.* | *καὶ ἡ χεὶρ αὐτοῦ ἡ δεξιὰ ἦν ξηρά·* |
| *καὶ ἐπηρώτησαν αὐτὸν λέγοντες,* | *7 παρετηροῦντο δὲ αὐτὸν* |
| | *οἱ γραμματεῖς καὶ οἱ Φαρισαῖοι* |
| *Εἰ ἔξεστιν τοῖς σάββασιν* | *εἰ ἐν τῷ σαββάτῳ* |
| *θεραπεῦσαι* | *θεραπεύει,* |
| *ἵνα κατηγορήσωσιν αὐτοῦ.* | *ἵνα εὕρωσιν κατηγορεῖν αὐτοῦ.* |
| | *8 αὐτὸς δὲ ᾔδει τοὺς διαλογισμοὺς αὐτῶν,* |
| | *εἶπεν δὲ τῷ ἀνδρὶ* |
| | *τῷ ξηρὰν ἔχοντι τὴν χεῖρα,* |
| | *Εγειρε καὶ στῆθι* |
| | *εἰς τὸ μέσον·* |
| | *καὶ ἀναστὰς ἔστη.* |
| *11 ὁ δὲ εἶπεν αὐτοῖς,* | |
| *Τίς ἔσται ἐξ ὑμῶν ἄνθρωπος ὃς ἕξει πρόβατον ἕν, καὶ ἐὰν ἐμπέσῃ τοῦτο τοῖς σάββασιν εἰς βόθυνον, οὐχὶ κρατήσει αὐτὸ καὶ ἐγερεῖ* | |
| *12 πόσῳ οὖν διαφέρει ἄνθρωπος προβάτου.* | |
| | *9 εἶπεν δὲ ὁ Ἰησοῦς πρὸς αὐτούς, Ἐπερωτῶ ὑμᾶς,* |
| *ὥστε ἔξεστιν τοῖς σάββασιν* | *εἰ ἔξεστιν τῷ σαββάτῳ* |
| *καλῶς ποιεῖν.* | *ἀγαθοποιῆσαι ἢ κακοποιῆσαι,* |
| | *ψυχὴν σῶσαι ἢ ἀπολέσαι* |
| | *10 καὶ περιβλεψάμενος* |
| | *πάντας αὐτοὺς* |
| *13 τότε λέγει τῷ ἀνθρώπῳ,* | *εἶπεν αὐτῷ,* |
| *Ἔκτεινόν σου τὴν χεῖρα.* | *Ἔκτεινον τὴν χεῖρά σου.* |
| *καὶ ἐξέτεινεν, καὶ* | *ὁ δὲ ἐποίησεν, καὶ* |
| *ἀπεκατεστάθη* | *ἀπεκατεστάθη ἡ χεὶρ αὐτοῦ.* |
| *ὑγιὴς ὡς ἡ ἄλλη.* | |

| Matt 12:9-14 | Luke 6:6-11 |
| --- | --- |
| *14 ἐξελθόντες δὲ οἱ Φαρισαῖοι* | *11 αὐτοὶ δὲ* |
| | *ἐπλήσθησαν ἀνοίας,* |
| *συμβούλιον ἔλαβον κατ αὐτοῦ* | *καὶ διελάλουν πρὸς ἀλλήλους* |
| *ὅπως αὐτὸν ἀπολέσωσιν* | *τί ἂν ποιήσαιεν τῷ Ἰησοῦ.* |

204 total words with 34 = 17%